ξένας θ' ὁμοῦ γυναῖκας οὐχ ἕνα ῥυθμὸν
κακῶν ἐχούςας· ἔκ τε γὰρ γεραςμίων
ὄςςων ἐλαύνους' οἰκτρὸν ἐς γαῖαν δάκρυ,
κουραί τε καὶ πεπλώματ' οὐ θεωρικά.
τί ταῦτα, μῆτερ; ςὸν τὸ μηνύειν ἐμοί,
ἡμῶν δ' ἀκούειν· προςδοκῶ τι γὰρ νέον.

Αι. ὦ παῖ, γυναῖκες αἵδε μητέρες τέκνων
τῶν κατθανόντων ἀμφὶ Καδμείας πύλας
ἑπτὰ ςτρατηγῶν· ἱκεςίοις δὲ ςὺν κλάδοις
φρουροῦςί μ', ὡς δέδορκας, ἐν κύκλωι, τέκνον.

Θη. τίς δ' ὁ ςτενάζων οἰκτρὸν ἐν πύλαις ὅδε;

Αι. Ἄδραςτος, ὡς λέγουςιν, Ἀργείων ἄναξ.

Θη. οἱ δ' ἀμφὶ τόνδε παῖδες; ἦ τούτων τέκνα;

Αι. οὔκ, ἀλλὰ νεκρῶν τῶν ὀλωλότων κόροι.

Θη. τί γὰρ πρὸς ἡμᾶς ἦλθον ἱκεςίαι χερί;

Αι. οἶδ'· ἀλλὰ τῶνδε μῦθος οὑντεῦθεν, τέκνον.

Θη. ςὲ τὸν κατήρη χλανιδίοις ἀνιςτορῶ.
λέγ' ἐκκαλύψας κρᾶτα καὶ πάρες γόον·
πέρας γὰρ οὐδὲν μὴ διὰ γλώςςης ἰόν.

ΑΔΡΑCΤΟC

ὦ καλλίνικε γῆς Ἀθηναίων ἄναξ,
Θηςεῦ, ςὸς ἱκέτης καὶ πόλεως ἥκω ςέθεν.

Θη. τί χρῆμα θηρῶν καὶ τίνος χρείαν ἔχων;

Αδ. οἶςθ' ἣν ςτρατείαν ἐςτράτευς' ὀλεθρίαν;

Θη. οὐ γάρ τι ςιγῆι διεπέραςας Ἑλλάδα.

Αδ. ἐνταῦθ' ἀπώλες' ἄνδρας Ἀργείων ἄκρους.

Θη. τοιαῦθ' ὁ τλήμων πόλεμος ἐξεργάζεται.

Αδ. τούτους θανόντας ἦλθον ἐξαιτῶν πόλιν.